εὖτ' ἂν σπουδαῖον πρῆγμ' ἐθέληις τελέσαι,
ἀλλὰ μετ' ἐσθλὸν ἰὼν βούλευ καὶ πολλὰ μογῆσαι
καὶ μακρὴν ποσσὶν Κύρν' ὁδὸν ἐκτελέσαι.

---

πρῆξιν μηδὲ φίλοισιν ὅλως ἀνακοινέο πᾶσιν·
παῦροί τοι πολλῶν πιστὸν ἔχουσι νόον.

(Theognidis)

παύροισιν πίσυνος μεγάλ' ἀνδράσιν ἔργ' ἐπιχείρει,
μή ποτ' ἀνήκεστον Κύρνε λάβηις ἀνίην.

(Theognidis)

πιστὸς ἀνὴρ χρυσοῦ τε καὶ ἀργύρου ἀντερύσασθαι
ἄξιος ἐν χαλεπῆι Κύρνε διχοστασίηι.

(Theognidis)

παύρους εὑρήσεις Πολυπαΐδη ἄνδρας ἑταίρους
πιστοὺς ἐν χαλεποῖς πρήγμασι γινομένους,
οἵτινες ἂν τολμῶιεν ὁμόφρονα θυμὸν ἔχοντες
ἶσον τῶν ἀγαθῶν τῶν τε κακῶν μετέχειν.

---

τούτους οὐχ εὕροις διζήμενος οὐδ' ἐπὶ πάντας
ἀνθρώπους, οὓς ναῦς μὴ μία πάντας ἄγοι,
οἷσιν ἐπὶ γλώσσηι τε καὶ ὀφθαλμοῖσιν ἔπεστιν
αἰδώς, οὐδ' αἰσχρὸν χρῆμ' ἔπι κέρδος ἄγει.

---

μή μ' ἔπεσιν μὲν στέργε, νόον δ' ἔχε καὶ φρένας ἄλληι,
> 1082c
εἴ με φιλεῖς καί σοι πιστὸς ἔνεστι νόος. d
ἤ με φίλει καθαρὸν θέμενος νόον, ἤ μ' ἀποειπὼν e
ἔχθαιρ' ἀμφαδίην νεῖκος ἀειράμενος. f

77-8 Plato *Leg.* 630a 79-80 Themist. *or.* 22. 265a